**Artemisia of Halicarnassus**

Herodotus, *Histories* 7.99

ὄνομα μὲν δὴ ἦν αὐτῇ Ἀρτεμισία, θυγάτηρ δὲ ἦν Λυγδάμιος, γένος δὲ ἐκ Ἁλικαρνασσοῦ τὰ πρὸς πατρός, τὰ μητρόθεν δὲ Κρητική. ἡγεμόνευε δὲ Ἁλικαρνασσέων τε καὶ Κῴων καὶ Νισυρίων τε καὶ Καλυδνίων, πέντε νaῦς παρεχομένη. καὶ συμπάσης τῆς στρατίας, μετά γε τὰς Σιδωνίων, νaῦς εὐδοξοτάτας, πάντων τε τῶν συμμάχων γνώμας ἀρίστας βασιλέι ἀπεδέξατο.

Herodotus, *Histories* 8.68

ἐπεὶ δὲ περιιὼν ἠρώτα ὁ Μαρδόνιος, οἱ μὲν ἄλλοι τὴν αὐτὴν γνώμην ἐξεφέροντο κελεύοντες ναυμαχίαν ποιεῖσθαι, Ἀρτεμισία δὲ τάδε ἔφη. "φείδου τῶν νεῶν μηδὲ ναυμαχίαν ποίου. οἱ γὰρ ἄνδρες τῶν σῶν ανδρῶν κρείττονες τοσοῦτο εἰσὶ κατὰ θάλατταν ὅσον ἄνδρες γυναικῶν. τὶ δὲ πάντως δεῖ σε ναυμαχίαις κινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, ὧν περ ἕνεκα ὁρμήθης στρατεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην Ἑλλάδα; ἐμποδὼν δέ σοι ἵσταται οὐδείς. . . οὐ γὰρ οἷοί τε πολλὸν χρόνον εἰσί σοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλὰ αὐτοὺς διασκεδᾷς, κατὰ πόλεις δὲ ἕκαστοι φεύξονται.

οὔτε γὰρ σῖτος πάρα αὐτοῖς ἐν τῇ νήσῳ ταύτῃ, ὡς ἐγὼ πυνθάνομαι, καὶ ἐὰν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατόν, οὐδὲ αὐτοῖς μελήσει πρὸ τῶν Ἀθηνῶν ναυμαχεῖν. . . πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε εἰς θυμὸν βάλε, ὡς τοῖς μὲν χρηστοῖς τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλοῦσι γίγνεσθαι, τοῖς δὲ κακοῖς χρηστοί. σοὶ δὲ ὄντι ἀρίστῳ ἀνδρῶν πάντων κακοὶ δοῦλοι εἰσί, οἷ ἐν συμμάχων λόγῳ λέγονται εἶναι ὄντες Αἰγύπτιοί τε καὶ Κύπριοι καὶ Κίλικες καὶ Πάμφυλοι, ὧν ὄφελος ἐστὶ οὐδέν."

Herodotus *Histories* 8.87